'ποιητὴν ἄρα
Ἔρως διδάσκει, κἂν ἄμουσος ᾖ τὸ πρίν.'

συνετόν τε γὰρ ποιεῖ, κἂν ῥάθυμος ᾖ τὸ πρίν· καὶ ἀνδρεῖον, ᾗ λέλεκται, τὸν ἄτολμον, ὥσπερ οἱ τὰ ξύλα πυρακτοῦντες ἐκ μαλακῶν ἰσχυρὰ ποιοῦσι. δωρητικὸς δὲ καὶ ἁπαλὸς καὶ μεγαλόφρων γίνεται πᾶς ἐραστής, κἂν γλίσχρος ᾖ πρότερον, τῆς μικρολογίας καὶ φιλαργυρίας δίκην σιδήρου [C] διὰ πυρὸς ἀνιεμένης· ὥστε χαίρειν τοῖς ἐρωμένοις διδόντας, ὡς παρ' ἑτέρων οὐ χαίρουσιν αὐτοὶ λαμβάνοντες. ἴστε γὰρ δήπου, ὡς Ἀνύτῳ ⟨τῷ⟩ Ἀνθεμίωνος, ἐρῶντι μὲν Ἀλκιβιάδου ξένους δ' ἑστιῶντι φιλοτίμως καὶ λαμπρῶς, ἐπεκώμασεν ὁ Ἀλκιβιάδης καὶ λαβὼν ἀπὸ τῆς τραπέζης εἰς ἥμισυ τῶν ἐκπωμάτων ἀπῆλθεν· ἀχθομένων δὲ τῶν ξένων καὶ λεγόντων 'ὑβριστικῶς σοι κέχρηται καὶ ὑπερηφάνως τὸ μειράκιον,' 'φιλανθρώπως μὲν οὖν' ὁ Ἄνυτος εἶπε· 'πάντα γὰρ ἐξῆν αὐτῷ λαβεῖν, ὁ δὲ κἀμοὶ τοσαῦτα καταλέλοιπεν.'" (18.) Ἡσθεὶς οὖν ὁ Ζεύξιππος 'ὦ Ἡράκλεις' εἶπεν, 'ὡς ὀλίγου διελύσατο [D] πρὸς Ἄνυτον τὴν ἀπὸ Σωκράτους καὶ φιλοσοφίας πατρικὴν ἔχθραν, εἰ πρᾶος ἦν οὕτω περὶ ἔρωτα καὶ γενναῖος.' 'εἶεν' εἶπεν ὁ πατήρ· 'ἐκ δὲ δυσκόλων καὶ σκυθρωπῶν τοῖς συνοῦσιν οὐ ποιεῖ φιλανθρωποτέρους καὶ ἡδίους; 'αἰθομένου' γὰρ 'πυρὸς γεραρώτερον οἶκον' ⟨ἔστιν⟩ 'ἰδέσθαι' καὶ ἄνθρωπον ὡς ἔοικε φαιδρότερον ὑπὸ τῆς ἐρωτικῆς

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id402389735/377 UNIVERSITÄT LEIPZIG